Κεφάλαιον β. A

ΕΠεὶ δ' ἐν τῇ πρώτῃ μεθόδῳ [περὶ] τῶν
πολιτειῶν διειλόμεθα, τρεῖς μὲν τὰς
ὀρθὰς πολιτείας, βασιλείαν, ἀριστοκρατίαν,
πολιτείαν· τρεῖς δὲ τὰς τούτων παρεκβάσεις,
τυραννίδα μὲν, βασιλείας· ὀλιγαρχίαν δὲ, ἀ-
ριστοκρατίας· δημοκρατίαν δὲ, πολιτείας· καὶ
περὶ μὲν ἀριστοκρατίας καὶ βασιλείας εἴρηται·
τὸ γὰρ περὶ τῆς ἀρίστης πολιτείας θεωρῆσαι, B
ταὐτὸ καὶ περὶ τούτων ἐστὶν εἰπεῖν τῶν ὀνο-
μάτων· βούλεται γὰρ ἑκατέρα κατ' ἀρετὴν
συνεστάναι κεχορηγημένην. ἔτι δὲ τί διαφέ-
ρουσιν ἀλλήλων ἀριστοκρατία, καὶ βασιλεία,
καὶ πότε δεῖ βασιλείαν νομίζειν, διώρισται
πρότερον· λοιπὸν περὶ πολιτείας διελθεῖν
τῆς τῷ κοινῷ προσαγορευομένης ὀνόματι, καὶ
περὶ τῶν ἄλλων πολιτειῶν, ὀλιγαρχίας τε καὶ C
δημοκρατίας, καὶ τυραννίδος. Φανερὸν μὲν
οὖν καὶ τούτων τῶν παρεκβάσεων τίς χει-
ρίστη, καὶ δευτέρα τίς· ἀνάγκη γὰρ τὴν μὲν
τῆς πρώτης καὶ θειοτάτης παρέκβασιν, εἶναι
χειρίστην· τὴν δὲ βασιλείαν ἀναγκαῖον [ἢ]
τοὔνομα μόνον ἔχειν, οὐκ οὖσαν· ἢ διὰ πολ-
λὴν ὑπεροχὴν εἶναι τὴν τοῦ βασιλεύοντος. ὥστε
[καὶ] τὴν τυραννίδα χειρίστην οὖσαν, πλεῖ-
στον ἀπέχειν πολιτείας· δεύτερον δὲ, τὴν ὀλι- D
γαρχίαν· ἡ γὰρ ἀριστοκρατία διέστηκεν ἀπὸ
ταύτης πολὺ τῆς πολιτείας· μετριωτάτην
δὲ, τὴν δημοκρατίαν. ἤδη μὲν οὖν τις ἀπε-
φήνατο καὶ τῶν πρότερον οὕτως· οὐ μὴν εἰς
ταὐτὸ βλέψας ἡμῖν. ἐκεῖνος μὲν γὰρ ἔκρινε,
πασῶν μὲν οὐσῶν ἐπιεικῶν· οἷον, ὀλιγαρχίας τε
χρηστῆς, καὶ τῶν ἄλλων, χειρίστην δημοκρα-
τίαν· φαύλων δὲ ἀρίστην. ἡμεῖς δὲ ὅλως ταύ- E
τας ἐξημαρτημένας εἶναί φαμεν· καὶ βελ-
τίω μὲν ὀλιγαρχίαν ἄλλην ἄλλης, οὐ καλῶς
ἔχει λέγειν· ἧττον δὲ φαύλην. ἀλλὰ περὶ μὲν
τῆς τοιαύτης κρίσεως ἀφείσθω τανῦν. ἡμῖν
δὲ, πρῶτον μὲν διαιρετέον, πόσαι διαφοραὶ
τῶν πολιτειῶν· εἴπερ ἐστὶν εἴδη πλείονα τῆς
τε δημοκρατίας, καὶ τῆς ὀλιγαρχίας. ἔπει-
τα τίς κοινοτάτη, καὶ τίς αἱρετωτάτη μετὰ τὴν F
ἀρίστην πολιτείαν· κἂν εἴ τις ἄλλη τετύχη-
κεν ἀριστοκρατικὴ, καὶ συνεστῶσα καλῶς·
ἀλλὰ ταῖς πλείσταις ἁρμόττουσα πόλεσι
τίς ἐστιν. ἔπειτα καὶ τῶν ἄλλων τίς τίσιν αἱ-
ρετή· τάχα γὰρ, τοῖς μὲν ἀναγκαία δημο-
κρατία μᾶλλον ὀλιγαρχίας· τοῖς δ' αὕτη

CAPVT II.

CVm verò in præcedentibus dictum ſit à nobis, tres eſſe rerum publicarum ſpecies rectas, Regnum, Optimatem, & eam quæ appellatur Reſpublica: ac tres earum tranſgreſſiones & labes, cùm regnum in tyrannidem, optimorum autem gubernatio in paucorum potentiam, reſpublica autem in popularem ſtatum labatur: & de optimatum gubernatione & regia ſit dictum: nam de optima republica conſiderare idem eſt, ac de illis dicere. vult enim vtraque illarum per virtutem, cæteris opportunius concurrentibus conſiſtere: & inſuper quid inter ſe differat regia poteſtas, & optimorum gubernatio: & quando regia gubernatio putanda ſit, determinauimus: reſtat nunc vt de illa quæ appellatur reſpublica dicamus, & de cæteris gubernandi formis, vt de paucorum potentia, ac de populari ſtatu, & de tyrannide. Patet igitur harum tranſgreſſionum quæ deterrima ſit quæve ſecunda. neceſſe eſt enim primæ & diuiniſſimæ tranſgreſſionem, eſſe deterrimam: Regiam quippe gubernationem, neceſſe eſt aut nomen habere ſolum, cùm non ſit: aut propter magnam illius, qui regit excellentiam, eſſe. Ex quo fit, tyrannidem deterrimam exiſtere, ac plurimum à recta ſpecie gubernandi abeſſe, ſecundo autem loco, paucorum potentiam: nam optimorum gubernatio multum ab hac ſpecie diſtat. maximè verò mediocrem eſſe popularem ſtatum. Fuit & prius quidam, qui iſto modo tradidit, non tamen in idem aſpiciens nobiſcum. ille enim exiſtimabat ſpecierum omnium, quæ rectè ſanè eſſent, velut paucorum potentiæ & aliarum, deterrimam eſſe popularem: improbarum verò optimam. Nos autem eas quæ tranſgrediuntur, aberrare omnes dicimus. nec paucorum potentia, quòd melior ſit altera quàm altera rectè dicitur, ſed quòd minus improba. verùm de his nunc diſcutere omittamus. Eſt à nobis primo diſtinguendum, quot ſint differentiæ rerumpublicarum, ſiquidem plures ſunt ſpecies popularis gubernationis ac paucorum. Deinde quæ communiſſima & optabiliſſima ſit poſt optimã rempublicã, & ſi qua contingit alia ad optimatium naturam declinans, rectè conſtituta, & quam plurimis congruens ciuitatibus, quænam iſta ſit. deinde aliarum, quæ à quibus expetenda. Forſan enim quibuſdam neceſſaria eſt popularis gubernatio magis quàm paucorum potentia: quibuſdam